eul_wid: rmg-aa

*Γάϊος Ἀσίνιος Κοδρᾶτος ὁ Ἱστορικός* · Gaius Asinius Quadratus the Historian

# Fragments of the Parthica

*Ἀποσπάσματα τῆς Παρθικῆς*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-21 ΠΑΡΘΙΚΑ. E LIBRO PRIMO.

1 Stephan. Byz.: Γηλὺ ς , ἔθνος, οὗ μέμνηται Ἀσίνιος Κουάδρατος ἐν πρώτῳ Παρθικῶν. Ὀξύνεται δέ. Idem: Μαυρούσιοι καὶ Μαῦροι, ἔθνος μέγα Λιβύης, ὡς Κουάδρατος ἐν πρώτῳ Παρθικῶν.

t3-4 E LIBRO SECUNDO. Idem: Ζωβίδαι, ἔθνος πλησίον Καρμανίας.

3 Κουάδρατος ἐν Παρθικῶν δευτέρῳ. Idem: Γερμανίκει α , πόλις Εὐφρατησίας.

4 Κουάδρατος ἐν τρίτῃ Παρθικῶν χωρίον αὐτήν φησι. Ὁ πολίτης Γερμανικεύς. E LIBRO TERTIO.

5 Idem v. Ταρσός · Ἔστι καὶ Τάρσα κώμη ἐπὶ τῷ Εὐφράτῃ, ὡς Κουάδρατος ἐν τρίτῳ Παρθικῶν· «Ἀπὸ δὲ Σαμοσάτων κατὰ ῥοῦν ἰόντι ὅσον σταδίους ἑκατὸν πεντήκοντα Τάρσα κώμη πολυάνθρωπος ᾠκεῖτο ἄνω τοῦ ποταμοῦ σταδίους πεντεκαίδεκα.» St. [5]

6 Byz.: Ὤτην ὴ , μοῖρα Ἀρμενίας. Κουάδρατος ἐν Παρθικῶν τρίτῳ· «Ὁ δὲ τῆς Ἀρμενίας βασιλεὺς Πάκορος ἐν τούτῳ περὶ Ἀρτάξατα καὶ τὴν Ὠτηνὴν τῆς Ἀρμενίας διάγων.» Τὸ ἐθνικὸν ὁ αὐτὸς ἐν τῷ δευτέρῳ· «Περὶ δὲ Κῦρον ποταμὸν Ὠβαρηνοί τε καὶ Ὠτηνοὶ νέμονται, μέγα μέρος Ἀρμενίας ὄντες.» E LIBRO QUARTO. [5]

7 Idem: Φράασπ α , Μηδίας πόλις. Κουάδρατος Παρθικῶν τετάρτῳ. Τὸ ἐθνικὸν Φραασπηνὸς, κατὰ τὸ ἔθος τῆς χώρας. E LIBRO SEXTO.

8 Idem: Ὠβαρηνο ὶ , μέρος Ἀρμενίας περικείμενον Κύρῳ ποταμῷ, ὅστις Εὐφράτην παραλλήλως ἔχει. Μέμνηται δ’ αὐτῶν καὶ Κουάδρατος ἐν ἕκτῳ Παρθικῶν· «Παρὰ δὲ Κύρῳ ποταμῷ Ὠβαρηνοί [τε] καὶ Ὠτηνοὶ νέμονται, μέγα μέρος Ἀρμενίας ὄντες.» E LIBRO SEPTIMO. [5]

9 Idem: Θελαμοῦζ α , φρούριον τῆς παρ’ Εὐφράτην Ἀραβίας, ὡς Κουάδρατος ἐν Παρθικῶν ἑβδόμῃ. Τὸ ἐθνικὸν Θελαμουζαῖος. E LIBRO OCTAVO.

10 Idem: Γάζακ α , πόλις μεγίστη τῆς Μηδίας, ὡς Κουάδρατος ἐν ὀγδόῳ Παρθικῶν. Ἀρριανὸς δὲ κώμην μεγάλην αὐτήν φησιν ἐν Παρθικῶν τετάρτῳ καὶ ἑνικῶς τῆς Γαζάκου λέγων. Τὸ ἐθνικὸν Γαζακηνός. Idem: Μασχάν η , πόλις πρὸς τῶν Σκηνιτῶν Ἀράβων.

11 Κουάδρατος ὀγδόῳ Παρθικῶν. Τὸ ἐθνικὸν Μασχανεύς. E LIBRO NONO.

12 Idem: Σόλυμ α , πόλις Ἀσσυρίων, μετὰ τὴν ἅλωσιν τοῦ ναοῦ τοῦ ἐν Ἱεροσολύμοις κτισθεῖσα, ὡς Κουάδρατος ἐνάτῳ Παρθικῶν. Τὸ ἐθνικὸν Σολυμηνός. Idem: Συρβαν ὴ , νῆσος ἐν τῷ Εὐφράτῃ, ὡς Κουάδρατος ἐν τῷ ἐνάτῳ Παρθικῶν.

13 Τὸ ἐθνικὸν Συρβανηνός. Idem: Τιγρανόκερτ α , πόλις οὐδετέρως πρὸς Ἀρμενίαν, ἀπὸ Τιγράνου βασιλέως Ἀρμενίας.

14 Κουάδρατος ἐνάτῳ· «Καὶ ᾤκησε τὰ Τιγρανόκερτα· τὸ δ’ ἐστὶ τῇ Παρθυαίων φωνῇ Τιγρανούπολις.» Τὸ ἐθνικὸν Τιγρανοκέρται. E LIBRIS INCERTIS.

15 Idem: Βόγχναι, ἔθνος τοῖς Καρρηνοῖς παρακείμενον, μέσον Εὐφράτου καὶ Κύρου ποταμοῦ, ὡς Κουάδρατος. St.

16 Byz.: Γίνδαρ α , κώμη πρὸς τῇ Ἀντιοχείᾳ. Τὸ ἐθνικὸν Γινδαρεύς. Κουάδρατος δὲ Γινδάρους ἔφη. Idem: Μέση τῶν ποταμῶ ν , χώρα μεταξὺ Εὐφράτου καὶ Τίγριδος, καὶ Ἀδιαβηνὴ ἐκαλεῖτο, ὡς ἱστορεῖ Κουάδρατος.

17 Τὸ ἐθνικὸν Μεσοποταμίτης. Idem v.

18 Μεσσήνη : Ἔστι καὶ χώρα Περσίδος Μεσήνη δι’ ἑνὸς, ὑπὸ τῶν δύο ποταμῶν Εὐφράτου καὶ Τίγριδος μεσαζομένη, ὡς Ἀσίνιος Κουάδρατός φησι. Idem: Τάπυρροι, οὐ πόρρω Ὑρκανίας ἔθνος.

19 Κουάδρατος Τάπουρρά φησι. Τὸ ἐθνικὸν Ταπουρραῖοι. Iulius Capitolinus in Vero c.

20 8: Fuit eius fati, ut in eas provincias, per quas rediit Romam usque, luem secum deferre videretur. Et nata fertur pestilentia in Babylonia; ubi de templo Apollinis ex arcula aurea, quam miles forte inciderat, spiritus pestilens evasit; atque inde Parthos orbemque complesse. Et hoc non Lucii Veri vitio, sed Cassii, a quo contra fidem Seleucia, quae ut amicos milites nostros receperat, expugnata est. Quod quidem inter ceteros etiam Quadratus belli Parthici scriptor, incusatis Seleucenis qui fidem primi ruperant, purgat. Vulcatius Gallicanus in Avidio Cassio c.

21 1: Avidius Cassius, ut quidam volunt, ex familia Cassiorum fuisse dicitur, per matrem tamen avo genitus Avidio Severo, qui ordines duxerat, et post ad summas dignitates pervenerat. Cuius Quadratus in Historiis meminit, et quidem graviter, quum illum summum virum et necessarium reipublicae asserit, et apud ipsum Marcum Antoninum praevalidum. ΡΩΜΑΙΚΗ ΧΙΛΙΕΤΗΡΙΣ E LIBRO SECUNDO.

22 Steph. Byz.: Ἄνθιο ν , πόλις Ἰταλίας. Κουάδρατος ἐν δευτέρᾳ Ῥωμαϊκῆς χιλιάδος. Ὁ πολίτης Ἀνθιανὸς, ὡς ὁ αὐτός. E LIBRO QUINTO.

23 Idem v. Ἰβηρίαι,: Παρὰ Κουαδράτῳ ἐν Ῥωμαϊκῆς χιλιάδος ε′ ἐστιν Ἰβήροισιν οὕτω· «Καί τοι Λίγυσί θ’ ἅμα καὶ Ἰβήροισι πολεμέοντες.» E LIBRO DUODECIMO.

24 Idem: Θαψίπολις, πλησίον Καρχηδόνος. Τὸ ἐθνικὸν Θαψιπολίτης. Κουάδρατος δυοκαιδεκάτῳ Ῥωμαϊκῆς. E LIBRO DECIMO QUARTO.

25 Idem: Ὀξύβιο ι , μοῖρα Λιγύων. Κουάδρατος τεσσαρεσκαιδεκάτῳ Ῥωμαϊκῆς χιλιαρχίας. E LIBRIS INCERTIS.

26 St. Byz.: Γερούνιο ν , πόλις Ἰταλίας. Κουάδρατος δὲ Γερυνίαν ταύτην καλεῖ. Τὸ ἐθνικὸν Γερούνιος. Idem: Δάλμιο ν , πόλις Δαλματίας μεταξὺ Ἰλλυρίας καὶ Ἰταλίας .

27 .. Ἀππιανὸς δὲ τὴν πόλιν Δέλμινον, Κουάδρατος δὲ Δάλμινον. Φασὶ δὲ αὐτοὺς καὶ Δαλμάτας. Idem: Πήλιο ν .

28 Ἔστι καὶ Πήλιον Ἰλλυρίας πόλις, ἧς μέμνηται Κουάδρατος. Τὸ ἐθνικὸν Πηληνός. Dio Cassius LXX, 3: Κουάδρατος δὲ γηραιὸν μέν φησιν αὐτὸν τελευτῆσαι, τὴν δὲ τελευτὴν ἡδίστην αὐτῷ κατ’ ἴσον ὕπνῳ τῷ μαλακωτάτῳ γενέσθαι.

30

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Zosimus V, 27: Μητρόπολις δὲ Φλαμινίας πόλις ἀρχαία, Θεσσαλῶν ἀποικία, Ῥήνη κληθεῖσα διὰ τὸ πανταχόθεν ὕδασι περιρρεῖσθαι, καὶ οὐχ, ὡς ὁ Ὀλυμπιόδωρος ὁ Θηβαῖός φησι, διὰ τὸ Ῥῶμον, ὃς ἀδελφὸς γέγονε Ῥωμύλῳ, τῆς πόλεως ταύτης οἰκιστὴν γεγονέναι· Κουαδράτῳ γὰρ, οἶμαι, θετέον ἐν τῇ κατὰ τὸν βασιλέα Μάρκον ἱστορίᾳ τοῦτο περὶ τῆς πόλεως ταύτης διεξελθόντι. Agathias I, 6: Οἱ δὲ Ἀλεμανοὶ, εἴγε χρὴ Ἀσινίῳ Κουαδράτῳ ἕπεσθαι, ἀνδρὶ Ἰταλιώτῃ καὶ τὰ Γερμανικὰ ἐς τὸ ἀκριβὲς ἀναγεγραμμένῳ, ξύγκλυδές εἰσιν ἄνθρωποι καὶ μιγάδες, καὶ τοῦτο δύναται αὐτοῖς ἡ ἐπωνυμία. [5]